# Παρακλητικός Κανών εις την Αγίαν Μεγαλομάρτυρα και Ισαπόστολον Φωτεινήν την Σαμαρείτιδα




Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

*Ψαλμός ρμβ' (142).*

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ Σου, εἰσάκουσον μου ἐν τῇ δικαιοσύνῃ Σου καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετά τοῦ δούλου Σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν Σου, πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρός τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκρούς αἰῶνος καὶ ἠκηδίασεν ἐπ' ἐμέ τό πνεῦμα μου, ἐν ἐμοί ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις Σου, ἐν ποιήμασι τῶν χειρῶν Σου ἐμελέτων. Διεπέτασα πρός Σέ τάς χεῖρας μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός Σοι. Ταχύ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τό πνεῦμα μου.

Μὴ ἀποστρέψης τό πρόσωπόν Σου ἀπ’ ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μου τό πρωΐ τό ἔλεός Σου, ὅτι ἐπὶ Σοί ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδόν ἐν ᾗ πορεύσομαι, ὅτι πρός Σέ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρός Σέ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τό θέλημά Σου, ὅτι Σύ εἶ ὁ Θεός μου. Τό Πνεῦμα Σου τό ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ, ἕνεκεν τοῦ ὀνόματός Σου, Κύριε, ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ Σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου καὶ ἐν τῷ ἐλέει Σου ἐξολοθρεύσεις τούς ἐχθρούς μου. Καί ἀπολεῖς πάντας τούς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγώ δοῦλος Σου εἰμί.

Καί εὐθύς ψάλλεται τετράκις ἐξ’ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α’. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

Στίχ. β’. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ’. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ῥεῖθρα ἀντλήσασα ζωῆς αἰωνίου, ἐκ τῆς πηγῆς τοῦ δι’ ἡμᾶς σαρκωθέντος, ἐδείχθης Ἰσαπόστολος καὶ Μάρτυς ἀκλινής· ὅθεν τὴν ἀντάμειψιν, ἐν ὑψίστοις εὑροῦσα, παῤῥησίᾳ πρέσβευε, τῇ Ἁγίᾳ Τριάδι, ὑπὲρ ἡμῶν ἀπαύστως Φωτεινή, ἵνα ῥυσθῶμεν, παντοίων κακώσεων.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν’ (50).*

Ἐλέησόν με, ὁ Θεός, κατά τό μέγα ἔλεός Σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν Σου, ἐξάλειψον τό ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καί ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τήν ἀνομίαν μου ἐγώ γινώσκω καί ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστι διά παντός. Σοί μόνῳ ἥμαρτον καί τό πονηρόν ἐνώπιόν Σου ἐποίησα, ὅπως ἄν δικαιωθῇς ἐν τοῖς λόγοις Σου καί νικήσῃς ἐν τῷ κρίνεσθαί Σε. Ἰδοὺ γάρ ἐν ἀνομίαις συνελήφθην καί ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γάρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καί τὰ κρύφια τῆς σοφίας Σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ καί καθαρισθήσομαι, πλυνεῖς με καί ὑπέρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καί εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τό πρόσωπόν Σου ἀπὸ τῶν ἁμαρτιῶν μου καί πάσας τάς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαράν κτίσον ἐν ἐμοί ὁ Θεός καί πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου Σου καί τό Πνεῦμα Σου τό Ἅγιον μὴ ἀντανέλῃς ἀπ’ ἐμοῦ. Ἀπόδος μοι τήν ἀγαλλίασιν τοῦ σωτηρίου Σου καί πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τάς ὁδούς Σου καί ἀσεβεῖς ἐπὶ σέ ἐπιστρέψουσιν. Ῥῦσαι με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεός τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσα μου τήν δικαιοσύνην Σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις καί τό στόμα μου ἀναγγελεῖ τήν αἴνεσίν Σου. Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσίᾳ τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καί τεταπεινωμένην ὁ Θεός οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ Σου τήν Σιών καί οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καί ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τό θυσιαστήριόν Σου μόσχους.

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Δέχου Φωτεινή, τὴν δέησιν Κυρί(λ)λου. Ἀμήν.*

*ᾨδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Δυνάμει τῶν θείων σου πρεσβειῶν, στήριζε καὶ σκέπε, Ἰσαπόστολε Φωτεινή, τοὺς προσερχομένους τῷ ναῷ σου, καὶ εὐφημοῦντας ἀξίως τὴν δόξαν σου.

Ἐν ἔργοις τῆς πίστεως Φωτεινή, ἐκλάμψασα κόσμῳ, φερωνύμως φῶς νοητόν, ἀκτῖσι τῆς θείας χάριτός σου, τὰς διανοίας ἡμῶν καταλάμπρυνον.

Χριστὸν ἀγαπήσασα μανικῶς, Αὐτῷ συνετάγης, διὰ τέλους μαρτυρικοῦ, Ὧ πρέσβευε πάντοτε διδοῦναι, ἁμαρτιῶν Φωτεινὴ ἡμῶν ἄφεσιν.

*Θεοτοκίον.*

Ὁλόφωτον σκήνωμα τοῦ Θεοῦ, ὑπάρχουσα Μῆτερ, τῷ ἀφθάρτῳ Σου τοκετῷ, φθορᾶς τῶν παθῶν ἀπάλλαξόν με, τῇ ἐνεργείᾳ τῆς θείας Σου χάριτος.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ὑπερεῖδες πανσόφως τὴν κοσμικὴν μέριμναν, ὡς συνετισθεῖσα Κυρίου τοῖς λόγοις ἔνδοξε· ὅθεν συνέτισον, ὦ Φωτεινὴ τὰς καρδίας, τῶν ἀνευφημούντων σε, ὡς Ἰσαπόστολον.

Φωτεινὴ εὐφρανθεῖσα θείοις Χριστοῦ ῥήμασι, ἀποστολικοῖς ἐν τῷ κόσμῳ, τρόποις διέπρεψας· ὅθεν κατεύθυνον, πρὸς τὴν ὁδὸν τοῦ Κυρίου, καὶ ἡμᾶς προστρέχοντας, τῇ ἀντιλήψει σου.

Ὡραιώθης ἐν ἄθλοις μαρτυρικοῖς ἔνδοξε, καὶ τοῦ οὐρανίου νυμφῶνος μέτοχος γέγονας· ὅθεν οὐράνωσον, σῶν προσευχῶν προμηθείᾳ, καὶ ἡμῶν τὸ φρόνημα, ἀειμακάριστε.

*Θεοτοκίον.*

Τοῦ Θεοῦ ἀνεδείχθης θρόνος ἁγνὴ ἔμψυχος, τοῦτον ἀγαθότητος πλούτῳ, κυοφορήσασα, Ὃν καθικέτευε, χειρῶν ἀδίκων ῥυσθῆναι, τοῦ δολίου δράκοντος, Μῆτερ τὴν ποίμνην Σου.

Διάσωσον, ἀπὸ κινδύνων καὶ πάσης κακοπραγίας, Μεγαλομάρτυς Φωτεινὴ Ἰσαπόστολε, τοὺς προσφοιτῶντας ναῷ σου τῷ παναγίῳ.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Χριστὸν τὸν Θεὸν εὑροῦσα ἐν τῷ φρέατι, ζωῆς παρ' Αὐτοῦ ἐξήντλησας τὰ νάματα, Φωτεινὴ πανένδοξε, ὧν μετάδος ἡμῖν τὴν γλυκύτητα, τοῖς εὐφημοῦσι ὕμνοις σε πιστῶς, ὡς κρήνην θεόβρυτον τῆς χάριτος.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Εὐσυμπάθητον πέλουσα, εὔφρανον δεόμεθα σῇ χρηστότητι, τὰς καρδίας τῶν προσφύγων σου, Φωτεινὴ θεόφρον Ἰσαπόστολε.

Ἰαμάτων χαρίσματα, Φωτεινὴ ἀνάβλυσον Ἰσαπόστολε, νοσημάτων τὴν κατήφειαν, ἐκ τῶν ὑμνολόγων σου ἐξαίρουσα.

Νόμῳ θείῳ ἐνίσχυσον, πάντας πολιτεύεσθαι τοὺς βοῶντάς σοι· χαῖρε Μάρτυς Ἰσαπόστολε, ἡ ἐχθροῦ τὸ θράσος καταισχύνασα.

*Θεοτοκίον.*

Ἡ τεκοῦσα τὸν Κύριον, πτῶσιν ἀνορθούμενον τοῦ Προπάτορος, πεπτωκότα με ἀνόρθωσον, ἐκ βυθοῦ μεγίστων παραπτώσεων.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Τεῖχος ἀῤῥαγές, ἡ πρεσβεία σου γενέσθω μοι, τὰς ἐφόδους τοῦ ἐχθροῦ τοῦ πονηροῦ, Φωτεινὴ θεομακάριστε ἀπείργουσα.

Ἤρθης πρὸς ζωήν, Φωτεινὴ τῷ μαρτυρίῳ σου· ἀλλ' ἀνύψωσον γηΐνων ἐννοιῶν, τὰς ψυχὰς ἡμῶν θερμῇ ἐπιστασίᾳ σου.

Νᾶμα νοητόν, τοῖς ἱκέταις σου ἀνάβλυσον, ὡς πλησθεῖσα τῶν ναμάτων τῆς τρυφῆς, Φωτεινὴ ἐν τοῖς θαλάμοις τῆς θεώσεως.

*Θεοτοκίον.*

Δρόσον μυστικήν, τῇ καρδίᾳ μου ἐπίσταξον, μητρικῆς Σου συμπαθείας Μαριάμ, ἵνα ᾄδω εὐσεβῶς τὰ μεγαλεῖά Σου.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Ἐξέδραμες, ὡς ἀκτὶς τῆς χάριτος, Φωτεινὴ ἐκ Σαμαρείας τῷ κόσμῳ, καὶ διεσκέδας σκότος εἰδώλων, τῇ διδαχῇ τῶν ἁγίων χειλέων σου· ὅθεν καταύγασον ἡμᾶς, τῷ φωτὶ τῆς Χριστοῦ ἐπιγνώσεως.

Ἠξίωσαι, τοῦ νυμφῶνος ἔνδοξε, τῆς ζωῆς σὺν τοῖς φιλτάτοις οἰκείοις, τοῦ μαρτυρίου ἀνδρείως τὸν δρόμον, ὦ Φωτεινὴ ἐν τῇ Ῥώμῃ τελέσασα· ὅθεν ἀνδρείαν ψυχικήν, καὶ ἡμῖν ἱκετεύομεν πάροχε.

Σὺ ἔφορος, καὶ φρουρὸς ἀκοίμητος, Φωτεινὴ τῶν ἱκετῶν σου ὑπάρχεις, περὶ αὐτῶν, προνοοῦσα ἀπαύστως, τῇ δωρεᾷ τῆς πολλῆς σου χρηστότητος· ὅθεν τιμῶμέν σε πιστῶς, παρεστῶτες ναῷ τῷ ἁγίῳ σου.

*Θεοτοκίον.*

Ἱλέωσαι, δυσωποῦμεν Δέσποινα, τὸν ἐκ Σοῦ σωματωθέντα Δεσπότην, ἵνα χαρᾶς, ἐντρυφήσωμεν θείας, δι᾽ ἀληθοῦς μετανοίας οἱ δοῦλοί Σου, οἱ μακαρίζοντες πιστῶς, ὡς Θεοῦ Σε Μητέρα ἀμόλυντον.

Διάσωσον, ἀπὸ κινδύνων καὶ πάσης κακοπραγίας, Μεγαλομάρτυς Φωτεινὴ Ἰσαπόστολε, τοὺς προσφοιτῶντας ναῷ σου τῷ παναγίῳ.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.*

Ἐκ τοῦ Κυρίου τὸ ὕδωρ ἐξήντλησας, τῆς αἰωνίου ζωῆς Ἰσαπόστολε· διό σε πιστῶς ἱκετεύομεν, θείου ἐλέους ἀνάβλυσον νάματα, ἡμῖν Φωτεινὴ τοῖς τιμῶσί σε.

Προκείμενον: *Είς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῆς καὶ είς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῆς.*

Στ.: *Οἱ ούρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν Αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.*

*Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννου (Κεφ. δ΄, 5-42)*

Τῷ καιρῷ ἐκείνῳ, ἔρχεται οὖν Ἰησοῦς εἰς πόλιν τῆς Σαμαρείας λεγομένην Συχὰρ, πλησίον τοῦ χωρίου ὃ ἔδωκεν Ἰακὼβ Ἰωσὴφ τῷ υἱῷ αὐτοῦ. ἦν δὲ ἐκεῖ πηγὴ τοῦ Ἰακώβ. ὁ οὖν Ἰησοῦς κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας ἐκαθέζετο οὕτως ἐπὶ τῇ πηγῇ· ὥρα ἦν ὡσεὶ ἕκτη. ἔρχεται γυνὴ ἐκ τῆς Σαμαρείας ἀντλῆσαι ὕδωρ. λέγει αὐτῇ ὁ Ἰησοῦς· Δός μοι πεῖν. οἱ γὰρ μαθηταὶ αὐτοῦ ἀπεληλύθεισαν εἰς τὴν πόλιν, ἵνα τροφὰς ἀγοράσωσι. λέγει οὖν αὐτῷ ἡ γυνὴ ἡ Σαμαρεῖτις· Πῶς σὺ Ἰουδαῖος ὢν παρ' ἐμοῦ πεῖν αἰτεῖς, οὔσης γυναικὸς Σαμαρείτιδος ; οὐ γὰρ συγχρῶνται Ἰουδαῖοι Σαμαρείταις. ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῇ· Εἰ ᾔδεις τὴν δωρεὰν τοῦ Θεοῦ καὶ τίς ἐστιν ὁ λέγων σοι, δός μοι πεῖν, σὺ ἂν ᾔτησας αὐτὸν, καὶ ἔδωκεν ἄν σοι ὕδωρ ζῶν. λέγει αὐτῷ ἡ γυνή· Κύριε, οὔτε ἄντλημα ἔχεις, καὶ τὸ φρέαρ ἐστὶ βαθύ· πόθεν οὖν ἔχεις τὸ ὕδωρ τὸ ζῶν; μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἰακώβ, ὃς ἔδωκεν ἡμῖν τὸ φρέαρ, καὶ αὐτὸς ἐξ αὐτοῦ ἔπιε καὶ οἱ υἱοὶ αὐτοῦ καὶ τὰ θρέμματα αὐτοῦ; ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῇ· Πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου διψήσει πάλιν· ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα, ἀλλὰ τὸ ὕδωρ ὃ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἀλλομένου εἰς ζωὴν αἰώνιον. λέγει πρὸς αὐτὸν ἡ γυνή· Κύριε, δός μοι τοῦτο τὸ ὕδωρ, ἵνα μὴ διψῶ μηδὲ ἔρχομαι ἐνθάδε ἀντλεῖν. λέγει αὐτῇ ὁ Ἰησοῦς· Ὕπαγε φώνησον τὸν ἄνδρα σου καὶ ἐλθὲ ἐνθάδε. ἀπεκρίθη ἡ γυνὴ καὶ εἶπεν· Οὐκ ἔχω ἄνδρα. λέγει αὐτῇ ὁ Ἰησοῦς· Καλῶς εἶπας ὅτι ἄνδρα οὐκ ἔχω· πέντε γὰρ ἄνδρας ἔσχες, καὶ νῦν ὃν ἔχεις οὐκ ἔστι σου ἀνήρ· τοῦτο ἀληθὲς εἴρηκας. λέγει αὐτῷ ἡ γυνή· Κύριε, θεωρῶ ὅτι προφήτης εἶ σύ. οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν· καὶ ὑμεῖς λέγετε ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τόπος ὅπου δεῖ προσκυνεῖν. λέγει αὐτῇ ὁ Ἰησοῦς· Γύναι, πίστευσόν μοι ὅτι ἔρχεται ὥρα ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ πατρί. ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε, ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν· ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστίν. ἀλλ' ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσι τῷ πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ· καὶ γὰρ ὁ πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν. πνεῦμα ὁ Θεός, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. λέγει αὐτῷ ἡ γυνή· Οἶδα ὅτι Μεσσίας ἔρχεται ὁ λεγόμενος Χριστός· ὅταν

ἔλθῃ ἐκεῖνος, ἀναγγελεῖ ἡμῖν πάντα. λέγει αὐτῇ ὁ Ἰησοῦς· Ἐγώ εἰμι, ὁ λαλῶν σοι. καὶ ἐπὶ τούτῳ ἦλθαν οἱ μαθηταὶ αὐτοῦ, καὶ ἐθαύμασαν ὅτι μετὰ γυναικὸς ἐλάλει· οὐδεὶς μέντοι εἶπε, τί ζητεῖς ἤ τί λαλεῖς μετ' αὐτῆς; Ἀφῆκεν οὖν τὴν ὑδρίαν αὐτῆς ἡ γυνὴ καὶ ἀπῆλθεν εἰς τὴν πόλιν, καὶ λέγει τοῖς ἀνθρώποις· Δεῦτε ἴδετε ἄνθρωπον ὃς εἶπέ μοι πάντα ὅσα ἐποίησα· μήτι οὗτός ἐστιν ὁ Χριστός; ἐξῆλθον οὖν ἐκ τῆς πόλεως καὶ ἤρχοντο πρὸς αὐτόν. Ἐν δὲ τῷ μεταξὺ ἠρώτων αὐτὸν οἱ μαθηταὶ λέγοντες· Ραββί, φάγε. ὁ δὲ εἶπεν αὐτοῖς· Ἐγὼ βρῶσιν ἔχω φαγεῖν, ἣν ὑμεῖς οὐκ οἴδατε. ἔλεγον οὖν οἱ μαθηταὶ πρὸς ἀλλήλους· Μή τις ἤνεγκεν αὐτῷ φαγεῖν; λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἐμὸν βρῶμά ἐστιν ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντός με καὶ τελειώσω αὐτοῦ τὸ ἔργον. οὐχ ὑμεῖς λέγετε ὅτι ἔτι τετράμηνός ἐστι καὶ ὁ θερισμὸς ἔρχεται; ἰδοὺ λέγω ὑμῖν, ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν καὶ θεάσασθε τὰς χώρας, ὅτι λευκαί εἰσι πρὸς θερισμόν. ἤδη. καὶ ὁ θερίζων μισθὸν λαμβάνει καὶ συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον, ἵνα καὶ ὁ σπείρων ὁμοῦ χαίρῃ καὶ ὁ θερίζων. ἐν γὰρ τούτῳ ὁ λόγος ἐστὶν ὁ ἀληθινὸς, ὅτι ἄλλος ἐστὶν ὁ σπείρων καὶ ἄλλος ὁ θερίζων. ἐγὼ ἀπέστειλα ὑμᾶς θερίζειν ὃ οὐχ ὑμεῖς κεκοπιάκατε· ἄλλοι κεκοπιάκασι, καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθατε. Ἐκ δὲ τῆς πόλεως ἐκείνης πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν τῶν Σαμαρειτῶν διὰ τὸν λόγον τῆς γυναικὸς, μαρτυρούσης ὅτι εἶπέ μοι πάντα ὅσα ἐποίησα. ὡς οὖν ἦλθον πρὸς αὐτὸν οἱ Σαμαρεῖται, ἠρώτων αὐτὸν μεῖναι παρ' αὐτοῖς· καὶ ἔμεινεν ἐκεῖ δύο ἡμέρας. καὶ πολλῷ πλείους ἐπίστευσαν διὰ τὸν λόγον αὐτοῦ, τῇ τε γυναικὶ ἔλεγον ὅτι οὐκέτι διὰ τὴν σὴν λαλιὰν πιστεύομεν· αὐτοὶ γὰρ ἀκηκόαμεν, καὶ οἴδαμεν ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ σωτὴρ τοῦ κόσμου.

Δόξα: *Ταῖς τῆς Ἀθληφόρου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι. Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Κλῆσιν τὴν φωτώνυμον, παρὰ Κυρίου λαβοῦσα, φερωνύμως ἔλαμψας, τῷ φωτὶ τῆς χάριτος γῆς τοῖς πέρασι, καὶ κατεφώτισας, πρὸς θεογνωσίαν, διδαχῶν σου τῇ λαμπρότητι, καὶ ἀπαυγάσμασι, τῆς μαρτυρικῆς σου ἐνστάσεως, ἀνθρώπων πλῆθος μέγιστον, Μάρτυς Φωτεινὴ Ἰσαπόστολε· ὅθεν νῦν τρυφῶσα, θεώσεως ἐν πόλῳ τοῦ φωτός, τὸν φωτισμὸν αἴτει πάντοτε, τοῖς προσερχομένοις σε.

## *ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Νυσταγμὸν ἁμαρτίας τοῦ Κυρίου τῷ λόγῳ ἀποτινάξασα, ἐν πάσῃ σωφροσύνῃ, τῆς πίστεως τῷ νόμῳ, καταλλήλως ἐδούλευσας, ᾧ καὶ ἡμῶν Φωτεινή, στοιχείωσον τὰς φρένας.

Καταλλήλως τῇ κλήσει Φωτεινὴ τὴν ζωήν σου ἐπιτελέσασα, ἐπλήσθης ἐν ὑψίστοις, τῆς θείας φωταυγείας, ἧς ἐξαίτει τὴν ἔλλαμψιν, ὡς συμπαθὴς ταῖς ψυχαῖς, τῶν σὲ προσκαλουμένων.

Ὕδωρ ἤντλησας θεῖον Φωτεινὴ ἐκ Κυρίου πηγῆς τῆς κρείττονος· διὸ ἐξηραμμένην, δι’ ἔργων ἀνομίας, τὴν ψυχήν μου κατάρδευσον, καὶ καρποφόρον αὐτήν, τῇ μετανοίᾳ δεῖξον.

### *Θεοτοκίον.*

Ῥεῖθροις ἄχραντε Μῆτερ μητρικοῦ Σου ἐλέους δεῦρο καθαίρουσα, τὰ ἕλκη τῆς ψυχῆς μου, καὶ σῶσόν με Παρθένε, γηθοσύνως Σοι ψάλλοντα· χαῖρε τὸ θαῦμα ἁγνή, Θεοῦ τῆς εὐσπλαγχνίας

## *ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Ἰσχύν μοι δίδου, ἐν ταῖς ἀνάγκαις τοῦ βίου, καὶ ἀντίληψιν ἐν πάσαις ἐπηρείας, Φωτεινὴ θεόφρον, Χριστοῦ μεγαλομάρτυς.

Λυπούντων Μάρτυς, τῆς συστροφῆς λύτρωσαί με, καὶ πρυτάνευσον εἰρήνην τῇ ψυχῇ μου, ταῖς γαληνοδώροις, λιταῖς σου πρὸς τὸν Κτίστην.

Ὅλῃ καρδίᾳ, προσπίπτομέν σοι βοῶντες· Φωτεινὴ Μεγαλομάρτυς τοῦ Κυρίου, νέκρωσον ψυχῆς μου, τὰς ἐμπαθεῖς ἐφέσεις.

*Θεοτοκίον.*

Ὑπέρτερόν με, τῶν ἐπιγείων φροντίδων, δεῖξον ἄχραντε τῇ Σῇ κηδεμονίᾳ, ἵνα Βασιλείαν, Θεοῦ κληρονομήσω.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ἁγίων ταῖς χορείαις, συνευφραινομένη, ἐν οὐρανοῖς Φωτεινὴ Ἰσαπόστολε, πρὸς ἀρετῶν ἐπιδόσεις ἡμᾶς κυβέρνησον.

Μεγίστης παῤῥησίας, κατηξιωμένη, πρὸς τὸν Θεὸν Φωτεινὴ παμμακάριστε, Αὐτὸν δυσώπει οἰκτεῖραι τοὺς προσιόντας σοι.

Ἡ θεία σου πρεσβεία, πάντοτε παρέχει, τὸν γλυκασμὸν Φωτεινὴ τοῖς ὑμνοῦσί σε, ὡς τοῦ Χριστοῦ Ἀθληφόρον καὶ Ἰσαπόστολον.

*Θεοτοκίον.*

Ναὲ ἡγιασμένε, δόξης τοῦ Κυρίου, ἁγίασόν με ψυχῇ τε καὶ σώματι, Θεοκυῆτορ τῷ πλούτῳ τῆς εὐσπλαγχνίας Σου.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Χαίροις Ἰσαπόστολε Φωτεινή, ἡ παρὰ τὸ φρέαρ, συλλαλήσασα τῷ Χριστῷ· χαίροις ἡ Μαρτύρων, τελέσασα τὸν δρόμον, καὶ στέφανον λαβοῦσα, δόξης τὸν ἄφθαρτον.

Γνῶσιν δεξαμένη τὴν θεϊκήν, παρὰ τοῦ Κυρίου, παμμακάριστε Φωτεινή, ἀνέτειλας κόσμῳ, τὸ φῶς τῆς εὐσεβείας, τὴν κλῆσίν σου τοῖς ἔργοις, λαμπρῶς σημαίνουσα.

Ὕδωρ τὸ ἀλλόμενον είς ζωήν, ἀπαρυσαμένη, τοῦ Σωτῆρος ἐκ τῆς πηγῆς, ἀφθόνως ἐκ τούτου, μετέδωκας τῷ κόσμῳ, ὡς Ἀποστόλων σύμπνους, Μάρτυς φωτώνυμε.

Δεῦτε εὐφημήσωμεν ἀδελφοί, Φωτεινὴν τὴν θείαν, Ἰσαπόστολον τοῦ Χριστοῦ· Αὐτῷ γὰρ πρεσβεύει, ὑπὲρ ἡμῶν ἀπαύστως, ἵνα ῥυσθῶμεν πάσης, ὀργῆς καὶ θλίψεως.

Θείου πληρωθεῖσα Μάρτυς φωτός, ἔλαμψας τῷ κόσμῳ, εὐσεβείας τὸν φωτισμόν· ὅθεν παρεστῶσα, Φωτὶ τῷ ἀνεσπέρῳ, τὸν φωτισμὸν ἐξαίτει, ἡμῖν τῆς πίστεως.

Φύλαττε καὶ σκέπε ἐν πειρασμοῖς, τοὺς προσερχομένους, τῷ ναῷ σου τῷ εὐαγεῖ, καὶ τούτους ὁδήγει, ζωῆς πρὸς τὸν λιμένα, ὦ Φωτεινὴ θεόφρον, τῇ ἀντιλήψει σου.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν είς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί…*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ᾽ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν…*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

Κλῆσιν, τὴν φερώνυμον σαφῶς, λόγων σου καὶ ἔργων τῇ αἴγλῃ, ἐπισφραγίσασα, φῶς τῆς θείας γνώσεως, τῷ κόσμῳ ἔλαμψας, καὶ πρὸς φῶς τὸ ἀνέσπερον, τῆς δόξης Κυρίου, Φωτεινὴ ἀνέδραμες, σὺν τοῖς οἰκείοις σου· ὅθεν, μετ' αὐτῶν μὴ ἐλλίπῃς, πάντων μνημονεύουσα Μάρτυς, τῶν καταφευγόντων τῇ πρεσβείᾳ σου.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι' εὐχῶν.*